FRANCKESCHE STIFTUNGEN

# Franckesche Stiftungen zu Halle

## Xenophontis Memorabilia Socratis Graece

### Xenophon

### Gothae, MDCCLXXXVIII.

### VD18 12986496

Caput VII. Aristarchi inopiae medetur.

**Nutzungsbedingungen**
Die Digitalisate des Francke-Portals sind urheberrechtlich geschützt. Sie dürfen für wissenschaftliche und private Zwecke heruntergeladen und ausgedruckt werden. Vorhandene Herkunftsbezeichnungen dürfen dabei nicht entfernt werden.
Eine kommerzielle oder institutionelle Nutzung oder Veröffentlichung dieser Inhalte ist ohne vorheriges schriftliches Einverständnis des Studienzentrums August Hermann Francke der Franckeschen Stiftungen nicht gestattet, das ggf. auf weitere Institutionen als Rechteinhaber verweist. Für die Veröffentlichung der Digitalisate können gemäß der Gebührenordnung der Franckeschen Stiftungen Entgelte erhoben werden.
Zur Erteilung einer Veröffentlichungsgenehmigung wenden Sie sich bitte an die Leiterin des Studienzentrums, Frau Dr. Britta Klosterberg, Franckeplatz 1, Haus 22-24, 06110 Halle (studienzentrum@francke-halle.de)

**Terms of use**
All digital documents of the Francke-Portal are protected by copyright. They may be downloaded and printed only for non-commercial educational, research and private purposes. Attached provenance marks may not be removed.
Commercial or institutional use or publication of these digital documents in printed or digital form is not allowed without obtaining prior written permission by the Study Center August Hermann Francke of the Francke Foundations which can refer to other institutions as right holders. If digital documents are published, the Study Center is entitled to charge a fee in accordance with the scale of charges of the Francke Foundations.
For reproduction requests and permissions, please contact the head of the Study Center, Frau Dr. Britta Klosterberg, Franckeplatz 1, Haus 22-24, 06110 Halle (studienzentrum@francke-halle.de)

urn:nbn:de:gbv:ha33-1-193062

Visual Library

## CAPVT VII.

*Ariſtarchi inopiae medetur.*

Καὶ μὴν τὰς ἀπορίας γε τῶν φίλων, τὰς
μὲν δι' ἄγνοιαν, ἐπειρᾶτο γνώμῃ ἀκεῖσθαι,
τὰς δὲ δι' ἔνδειαν, διδάσκων κατὰ δύναμιν ἀλ-
λήλοις ἐπαρκεῖν. ἐρῶ δὲ καὶ ἐν τούτοις, ἃ
σύνοιδα αὐτῷ. Ἀρίσταρχον γάρ ποτε ὁρῶν
σκυθρωπῶς ἔχοντα, ἔοικας, ἔφη, ὦ Ἀρίσταρ-
χε, βαρέως φέρειν τι. χρὴ δὲ τοῦ βάρους με-
ταδιδόναι τοῖς φίλοις. ἴσως γὰρ ἄν τί σε καὶ
2 ἡμεῖς κουφίσαιμεν. Καὶ ὁ Ἀρίσταρχος, ἀλλὰ
μὴν, ἔφη, ὦ Σώκρατες, ἐν πολλῇ γε εἰμὶ
ἀπορίᾳ. ἐπεὶ γὰρ ἐστασίασεν ἡ πόλις πολλῶν
φυγόντων ὡς τὸν Πειραιᾶ, συνεληλύθασιν ὡς
ἐμὲ καταλελειμμέναι ἀδελφαί τε, καὶ ἀδελ-
φιδαῖ, καὶ ἀνεψιαὶ τοσαῦται, ὥς εἶναι ἐν τῇ
οἰκίᾳ τεσσαρεσκαίδεκα τοὺς ἐλευθέρους. λαμ-
βάνομεν δὲ οὔτε ἐκ τῆς γῆς οὐδέν· (οἱ γὰρ
ἐναντίοι κρατοῦσιν αὐτῆς), οὔτε ἀπὸ τῶν οἰ-
κιῶν· ὀλιγανθρωπία γὰρ ἐν τῷ ἄστει γέγονε.
τὰ ἔπιπλα δὲ οὐδεὶς ὠνεῖται, οὐδὲ δανείσασθαι
οὐδαμόθεν ἐστὶν ἀργύριον, ἀλλὰ πρότερον ἄν τίς
μοι δοκεῖ ἐν τῇ ὁδῷ ζητῶν εὑρεῖν, ἢ δανειζόμε-
νος λαβεῖν. χαλεπὸν μὲν οὖν ἐστιν, ὦ Σώκρα-
τες, τοὺς οἰκείους περιορᾶν ἀπολλυμένους, ἀδύ-
νατον δὲ τοσούτους τρέφειν ἐν τοιούτοις πράγ-
3 μασιν. Ἀκούσας οὖν ταῦτα ὁ Σωκράτης, τί
ποτέ ἐστιν, ἔφη, ὅτι ὁ Κεράμων μὲν πολλοὺς
τρέφων, οὐ μόνον ἑαυτῷ τε καὶ τούτοις τὰ ἐπι-
τήδεια δύναται παρέχειν, ἀλλὰ καὶ περιποι-
εῖται

εἶται τοσαῦτα, ὥστε καὶ πλουτεῖν· σὺ δὲ πολ-
λοὺς τρέφων, δέδοικας, μὴ δι' ἔνδειαν τῶν ἐπι-
τηδείων ἅπαντες ἀπόλησθε; Ὅτι νὴ Δί', ἔφη,
ὁ μὲν δούλους τρέφει, ἐγὼ δὲ ἐλευθέρους. καὶ 4
πότερον, ἔφη, τοὺς παρὰ σοὶ ἐλευθέρους οἴει
βελτίους εἶναι ἢ τοὺς παρὰ Κεράμωνι δούλους;
Ἐγὼ μὲν οἶμαι, ἔφη, τοὺς παρὰ ἐμοὶ ἐλευθέ-
ρους. Οὐκοῦν, ἔφη, αἰσχρὸν τὸν μὲν ἀπὸ τῶν
πονηροτέρων εὐπορεῖν, σὲ δὲ πολλῷ βελτίους
ἔχοντα ἐν ἀπορίαις εἶναι. Νὴ Δί', ἔφη· ὁ μὲν
γὰρ τεχνίτας τρέφει, ἐγὼ δὲ ἐλευθερίως πε-
παιδευμένους. ἆρ' οὖν, ἔφη, τεχνῖταί εἰσιν οἱ 5
χρήσιμόν τι ποιεῖν ἐπιστάμενοι; Μάλιστά γ',
ἔφη. Οὐκοῦν χρήσιμά γ' ἄλφιτα; Σφόδρα γε.
Τί δ' ἄρτοι; οὐδὲν ἧττον. Τί γάρ; ἔφη, ἱμά-
τιά τε ἀνδρεῖα καὶ γυναικεῖα, καὶ χιτωνίσκοι
καὶ χλαμύδες καὶ ἐξωμίδες; Σφόδρα γ', ἔφη,
καὶ πάντα ταῦτα χρήσιμα. Ἔπειτα, ἔφη,
οἱ παρά σοι τούτων οὐδὲν ἐπίστανται ποιεῖν;
Πάντα μὲν οὖν, ὡς ἐγῷμαι. Εἶτ' οὐκ οἶσθα, 6
ὅτι ἀφ' ἑνὸς μὲν τούτων, ἀλφιτοποιΐας, Ναυ-
σικύδης οὐ μόνον ἑαυτόν τε καὶ τοὺς οἰκέτας τρέ-
φει, ἀλλὰ πρὸς τούτοις καὶ ὗς πολλὰς, καὶ
βοῦς, καὶ περιποιεῖται τοσαῦτα, ὥς τε καὶ
τῇ πόλει πολλάκις λειτουργεῖν· ἀπὸ δὲ ἀρτο-
ποιΐας Κιριβὸς τήν τε οἰκίαν πᾶσαν διατρέ-
φει, καὶ ζῇ δαψιλῶς; Δημέας δὲ ὁ Κολυτ-
τεὺς d), ἀπὸ χλαμυδουργίας· Μένων δ', ἀπὸ
χλα-

d) Vulgo Κολλυτεύς. male. Nam Κολυττὸς scribitur ap. alios, ut Demosth. de Cor. c. 55. Lucian. in Tim. et nostrum H. Gr. V, 1, 23. Hes. Harp.

χλανιδοποιΐας· Μεγαρέων δὲ οἱ πλεῖστοι, ἔφη,
ἀπὸ ἐξωμιδοποιΐας διατρέφονται; Νὴ Δί', ἔφη·
οὗτοι μὲν γὰρ ὠνούμενοι βαρβάρους ἀνθρώπους
ἔχουσιν, ὥστε ἀναγκάζειν ἐργάζεσθαι, ἃ κα-
λῶς ἔχει· ἐγὼ δ' ἐλευθέρους τε καὶ συγγενεῖς.
7 Ἔπειτ', ἔφη, ὅτι ἐλεύθεροί τ' εἰσὶ καὶ συγγε-
νεῖς σοι, οἴει χρῆναι αὐτὰς μηδὲν ἄλλο ποιεῖν,
ἢ ἐσθίειν καὶ καθεύδειν; πότερον καὶ τῶν ἄλ-
λων ἐλευθέρων τοὺς οὕτω ζῶντας ἄμεινον διάγον-
τας ὁρᾷς, καὶ μᾶλλον εὐδαιμονίζεις, ἢ τούς, ἃ
ἐπίστανται χρήσιμα πρὸς τὸν βίον, τούτων ἐπι-
μελομένους; ἢ τὴν μὲν ἀργίαν καὶ τὴν ἀμέλει-
αν αἰσθάνῃ τοῖς ἀνθρώποις πρός τε τὸ μα-
θεῖν, ἃ προσήκει ἐπίστασθαι, καὶ πρὸς τὸ
μνημονεύειν, ἃ ἂν μάθωσι, καὶ πρὸς τὸ ὑγιαί-
νειν τε καὶ ἰσχύειν τοῖς σώμασι, καὶ πρὸς τὸ
κτήσασθαί τε καὶ σώζειν τὰ χρήσιμα πρὸς
τὸν βίον, ὠφέλιμα ὄντα, τὴν δὲ ἐργασίαν καὶ
8 τὴν ἐπιμέλειαν οὐδὲν χρήσιμα; ἔμαθον δ', ἃ
φὴς αὐτὰς ἐπίστασθαι, πότερον ὡς οὔτε χρήσι-
μα ὄντα πρὸς τὸν βίον, οὔτε ποιήσουσαι αὐτῶν
οὐδέν, ἢ, τοὐναντίον, ὡς καὶ ἐπιμεληθησόμεναι
τούτων, καὶ ὠφεληθησόμεναι ἀπ' αὐτῶν; πο-
τέρως γὰρ ἂν μᾶλλον ἄνθρωποι σωφρονοῖεν, ἀρ-
γοῦντες, ἢ τῶν χρησίμων ἐπιμελούμενοι; ποτέ-
ρως δ' ἂν δικαιότεροι εἶεν, εἰ ἐργάζοιντο, ἢ εἰ
9 ἀργοῦντες βουλεύοιντο περὶ τῶν ἐπιτηδείων; ἀλ-
λὰ καὶ νῦν μέν, ὡς ἐγὼ οἶμαι, οὔτε σὺ ἐκείνας
φιλεῖς, οὔτε ἐκεῖναι σέ· σὺ μέν, ἡγούμενος αὐ-
τὰς ἐπιζημίους εἶναι σεαυτῷ, ἐκεῖναι δέ σε ὁ-
ρῶσαι ἀχθόμενον ἐφ' ἑαυταῖς. ἐκ δὲ τούτων
κίνδυνος μείζω τε ἀπέχθειαν γίγνεσθαι, καὶ
τὴν

Franckesche Stiftungen zu Halle

τὴν προγεγονυῖαν χάριν μειοῦσθαι. ἐὰν δὲ
προστατήσῃς e), ὅπως ἐνεργοὶ ὦσι, σὺ μὲν ἐκεί-
νας φιλήσεις, ὁρῶν ὠφελίμους σεαυτῷ οὔσας·
ἐκεῖναι δέ σε ἀγαπήσουσιν, αἰσθόμεναι χαίρον-
τά σε αὐταῖς· τῶν δὲ προγεγονυιῶν εὐεργε-
σιῶν ἥδιον μεμνημένοι, τὴν ἀπ᾽ ἐκείνων χάριν
αὐξήσετε, καὶ ἐκ τούτων φιλικώτερόν τε καὶ
οἰκειότερον ἀλλήλοις ἕξετε. εἰ μὲν τοίνυν αἰ- 10
σχρόν τι ἔμελλον ἐργάσασθαι, θάνατον ἀντ᾽
αὐτοῦ προαιρετέον ἦν· νῦν δὲ, ἃ μὲν δοκεῖ κάλ-
λιστα καὶ πρεπωδέστερα γυναικὶ εἶναι, ἐπίσταν-
ται, ὡς ἔοικε. πάντες δὲ ἃ ἐπίστανται, ῥᾷ-
στά τε, καὶ τάχιστα, καὶ κάλλιστα, καὶ ἥδιστα
ἐργάζονται. μὴ οὖν ὄκνει, ἔφη, ταῦτα εἰση-
γεῖσθαι αὐταῖς, ἃ σοί τε λυσιτελεῖ κἀκείναις.
καὶ, ὡς εἰκὸς, ἡδέως ὑπακούσονται. Ἀλλὰ νὴ 11
τοὺς θεοὺς, ἔφη ὁ Ἀρίσταρχος, οὕτω μοι δοκεῖς
καλῶς λέγειν, ὦ Σώκρατες, ὥστε πρόσθεν μὲν
οὐ προσιέμην δανείσασθαι, εἰδὼς ὅτι, ἀναλώ-
σας, ὃ ἂν λάβω, οὐχ ἕξω ἀποδοῦναι· νῦν δέ
μοι δοκῶ εἰς ἔργων ἀφορμὴν ὑπομένειν αὐτὸ
ποιῆσαι. Ἐκ τούτων δὲ ἐπορίσθη μὲν ἀφορμὴ, 12
ἐωνήθη δὲ ἔρια· καὶ ἐργαζόμεναι μὲν ἠρίστων,
ἐργασάμεναι δὲ ἐδείπνουν, ἱλαραὶ δὲ ἀντὶ σκυ-
θρωπῶν ἦσαν, καὶ ἀντὶ ὑφορωμένων ἑαυτὰς f),
ἡδέως ἀλλήλας ἑώρων. καὶ αἱ μὲν ὡς κηδεμό-
να ἐφίλουν, ὁ δὲ ὡς ὠφελίμους ἠγάπα. τέλος
δὲ ἐλθὼν πρὸς τὸν Σωκράτην, χαίρων διηγεῖ-
το ταῦτά τε, καὶ ὅτι αἰτιῶνται αὐτὸν μόνον
τῶν ἐν τῇ οἰκίᾳ ἀργὸν ἐσθίειν. καὶ ὁ Σωκρά- 13



e) Al. προστάτης ᾖς. f) Al. ἑαυτοὺς, ἡδέως ἀλλήλους.